,,Τέκνον, τίπτε λιπὼν πόλεμον θρασὺν εἰλήλουθας;
ἦ μάλα δὴ τείρουσι δυσώνυμοι υἷες 'Αχαιῶν
μαρνάμενοι περὶ ἄστυ· σὲ δ' ἐνθάδε θυμὸς ἀνῆκεν
ἐλθόντ' ἐξ ἄκρης πόλιος Διὶ χεῖρας ἀνασχεῖν.
ἀλλὰ μέν', ὄφρα κέ τοι μελιηδέα οἶνον ἐνείκω,
ὡς σπείσῃς Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισιν
πρῶτον, ἔπειτα δέ κ' αὐτὸς ὀνήσεαι, αἴ κε πίῃσθα.
ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει,
ὡς τύνη κέκμηκας ἀμύνων σοῖσιν ἔτῃσιν.“

1. Give Attic forms for αἰθούσῃσι, λίθοιο. ἀλοχοῖσι, ἤλυθε, εἰλήλουθας, ὀνήσεαι.

2. Derive ἄλοχσς, θρασύς, ἄστυ.

3. Translate the expressions: 'Αλτο χαμᾶζε. Κάκ' ἐμήσατο θυμῷ. 'Ερχεο σὺν θυέεσσιν. Βοῦς ἤνις ἠκέστας ἱερεύσομεν. Σεβάσσατο γὰρ τόγε θυμῷ.

---

## GREEK—Honors.

PROFESSOR FLETCHER (*Queen's*), EXAMINER.

### I. Demosthenes, Olynthiac II., §§ 22-24.

Translate:

Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες 'Αθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν καί κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ὑμῖν ἐνούσας ἢ 'κείνῳ. ἀλλ', οἶμαι, καθήμεθα οὐδὲν ποιοῦντες· οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα οὐδὲ τοῖς φίλοις ἐπιτάττειν ὑπὲρ αὑτοῦ τι ποιεῖν, μή τί γε δὴ τοῖς θεοῖς. οὐ δὴ θαυμαστόν ἐστιν, εἰ στρατευόμενος καὶ πονῶν ἐκεῖνος αὐτὸς καὶ παρὼν ἐφ' ἅπασι καὶ μηδένα καιρὸν μηδ' ὥραν παραλείπων ἡμῶν μελλόντων καὶ ψηφιζομένον καὶ πυνθανομένων περιγίγνεται. οὐδὲ θαυμάζω τοῦτ' ἐγώ· τοὐναντίον γὰρ ἂν ἦν θαυμαστὸν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει τοῦ πάντα ποιοῦντος ἃ δεῖ περιῆμεν.

1. Parse δοίη, ἑλοίμην, πλείους, καθήμεθα, ἔνι, περιῆμεν.

2. Explain the syntax of προσπολεμῆσαι, δοίη, ὑμῶν αὐτῶν, ἔχειν, ἐνούσας, ἦν, ὧν.

3. Μηδὲν ποιοῦντες. Why μηδὲν? Illustrate briefly the chief uses of μή.

4. Sketch the career of Philip of Macedon down to the date of the second Olynthiac.

### II. Homer, Iliad, B. XXII., 344-364.

Translate:

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς
'Αχιλλεύς
,,μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων·